περὶ διαφορᾶς τῆς πυθαγορείου μουσικῆς πρὸς τὴν
ἀριστοξένειον κατὰ πολλοὺς τρόπους μεταγράψων δι-
δύμου τοῦτο μεμαθηκώς· καὶ παρ᾽ ἄλλων ἄλλα με-
τενεγκὼν παρῆλθε σιγῇ ὡς ἐπιδείξομεν· καὶ οὐκ ἄν
τις αὐτὸν ἐπὶ τούτῳ καταμέμψαιτο, τοῖς καλῶς
εἰρημένοις ὡς κοινοῖς ἅπασι πάντων κεχρημένον. ἀλλ᾽
ὅσα μὲν οὖν ἀναγκαῖον ἦν ἴσως προειπεῖν, εἰ ταῦτα.
παραιτησάμενοι τὴν ἐξήγησιν, ἐντεῦθεν ἀρχό-
μεθα τοῦ προκειμένου.

ἐντεῦθεν ἄρχεται ἡ τοῦ ῥητοῦ ἐξήγησις.

Ἁρμονική ἐστι δύναμις καταληπτική, τῶν ἐν
τοῖς ψόφοις περὶ τὸ ὀξὺ καὶ τὸ βαρὺ διαφορῶν.

Τὴν μουσικὴν ἐπιστήμην, διαιροῦσιν ὥσπερ εἴς τε
τὴν ἁρμονικὴν καλουμένην πραγματείαν· εἴς τε τὴν
ῥυθμικὴν καὶ τὴν μετρικήν· εἴς τε τὴν ὀργανικὴν
καὶ τὴν ἰδίως κατ᾽ ἐξοχὴν ποιητικὴν καλουμένην
καὶ τὴν ταύτης ὑποκριτικήν. μουσικοὶ γὰρ λέγονται
πάντες, οἱ περὶ ταῦτα τεχνῖται. τὰ μὲν οὖν ἄλλα
μέρη τῆς μουσικῆς, τὰ νῦν παρείσθω. περὶ δὲ τῆς ἁρ-
μονικῆς σκεπτέον. ἣ τάξει μὲν ὑπάρχει πρώτη,
διαίρεσις δὲ στοιχειώδη καλεῖται θεωρητικήν, τῶν πρώ-
των ὄντων ἐν μουσικῇ· ταῦτα δέ ἐστι φθόγγοι τε
καὶ διαστήματα καὶ τὰ ἐκ τούτων συστήματά τε τοῖς
τοῖς ἐπικαλουμένοις γένεσι, καὶ πάντα ὅσα συνεργεῖ
πρὸς τὴν τῶν τελείων λεγομένων συστημάτων ἐ-
πίγνωσιν. ὁρίζονται δὲ αὐτὴν οἱ μὲν ἐπιστήμην θεω-
ρητικὴν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_389/0154